πὸν καὶ ἄγροικον ἄλλως ἐν ταῖς μάχαις ἡδὺ καὶ φαιδρὸν E ἐπιφαίνεσθαι διὰ τὸ θαρραλέον, οὕτως ὁ μὴ φύσει πικρὸς ἀλλὰ σεμνὸς καὶ αὐστηρὸς ἐν τῷ πίνειν ἀνιέμενος ἡδίων γίνεται καὶ προσφιλέστερος. ἔτι τοίνυν αὐτῷ δεῖ προσεῖναι τὸ μάλιστα μὲν ἑκάστου τῶν συμποτῶν ἐμπείρως ἔχειν, τίνα λαμβάνει μεταβολὴν ἐν οἴνῳ καὶ πρὸς τί πάθος ἀκροσφαλής ἐστι καὶ πῶς φέρει τὸν ἄκρατον (οὐ γὰρ οἴνου μὲν ἔστι πρὸς ὕδωρ ἕτερον ἑτέρα μῖξις, ἣν οἱ βασιλικοὶ γιγνώσκοντες οἰνοχόοι νῦν μὲν πλέον νῦν δ' ἔλαττον ὑποχέουσιν, ἀνθρώπου δὲ πρὸς οἶνον οὐκ ἔστ' ἰδία κρᾶσις, ἣν τῷ συμποσιάρχῳ γινώσκειν προσήκει καὶ γιγνώσκοντι φυλάττειν, ἵν' ὥσπερ ἁρμονικὸς τὸν μὲν F ἐπιτείνων τῇ πόσει τὸν δ' ἀνιεὶς καὶ ὑποφειδόμενος εἰς ὁμαλότητα καὶ συμφωνίαν ἐκ διαφορᾶς καταστήσῃ τὰς φύσεις), ὅπως μὴ κοτύλῃ μηδὲ κυάθοις τὸ ἴσον, ἀλλὰ καιροῦ τινι μέτρῳ καὶ σώματος δυνάμει τὸ οἰκεῖον ἑκάστῳ καὶ πρόσφορον ἀπονέμηται. | εἰ δὲ τοῦτό γε δύσκολον, 621 ἐκεῖνα δὲ πάντως ἐξειδέναι τῷ συμποσιάρχῳ προσήκει, τὰ κοινὰ περὶ τὰς φύσεις καὶ τὰς ἡλικίας· οἷον πρεσβῦται τάχιον μεθύσκονται νέων, σαλευόμενοι δ' ἠρεμούντων, ἔλλυποι δὲ καὶ πεφροντικότες εὐθύμων καὶ ἱλαρῶν, . . . ἀνέδην καὶ κατα⟨κόρως⟩ διάγοντες τῶν ἀσελγαινόντων, κἄλλα τοιαῦθ' ἃ γιγνώσκων ἄν τις μᾶλλον τοῦ ἀγνοοῦντος εὐσχημοσύνην καὶ ὁμόνοιαν συμποσίου πρυτανεύσειεν.